10 χρημάτων || π]ορισθέντων ἔχει ὁ ταμίας μερίζειν τὰ [δεόμενα, καὶ κατὰ τὸ|ν κ]ατάλοιπον χρόνον τοῦ ἐνιαυτοῦ συνκ[ομισθῶσιν οἱ ἐκ γῆς | κ]αρποὶ μετ' ἀσφαλείας· ἀγαθεῖ τύχει, δε[δόχθαι τεῖ βουλεῖ, | τ]οὺς λαχόντας προέδρους[5] εἰς τὴν ἐπιοῦ[σαν ἐκκλησίαν χρημ|α]τίσαι περὶ τούτων, γνώμην δὲ ξυμβάλλε[σθαι τῆς
15 βουλῆς, ὅτι] || δοκεῖ τῆι βουλεῖ, τοὺς βουλομένους τῶ[ν πολιτῶν καὶ τῶν ἄλ]|λων τῶν οἰκούντων ἐν τῆι πόλει ἐπιδιδό[ναι εἰς τὴν σωτηρία]|ν τῆς πόλεως καὶ τὴν φυλακὴν τῆς χώρας ἐ[παγγεί-

---

Litterae volgares praeter Ξ . π modo Π modo Γ est. Litterae θ punctum plerisque locis evanuit. Decretum (v. 3—29) accurate στοιχηδὸν incisum est nisi quod semel v. 19 iota inter ordines insertum est. V. 1. 2. 30—32 maiores reliquis litteras habent. 1 Bello Chremonideo haec decreta esse demonstravit Eustratiadis. Annus certe posterior quam Ol. 128, 4 (265|4 a. Chr.) non est. Nam insequentium duorum annorum archontes noti sunt (Ol. 129, 1. 264|3 a. Chr. Arrhenides. 129, 2. 263|2 a. Chr. Diognetos, Wilamowitz Antigonos p. 251 sqq.), Ol. 129, 3 (262|1 a. Chr.) vero mense Elaphebolione Athenae aut iam captae aut certe obsidione clausae et ad desperationem paene redactae erant, id quod ab huius tituli argumento alienum est. Quod Koehlerus monuit, nondum abrogatis tribubus Antigonide et Demetriade haec incisa esse, id indicio esse videtur, sub initium belli plebiscitum factum, ut Diomedonta Pithidemi successorem fuisse et Ol. 128, 2 (267|6 a. Chr.) aut 128, 3 (266|5 a. Chr.) munere functum probabile sit. 2 Nomen consulto deletum aut Ἀντιγονίδος aut Δημητριάδος fuit. K. 3 Annum intercalarem fuisse manifestum est. Cf. Boeckh Epigraphisch-chronologische Studien p. 76 sqq. ἕνη καὶ νέα ἐμβόλιμος etiam C. I. Att. II 175 invenitur. Diei numerum ὀγδόηι restituit Boeckh, sed Koehler monuit sic duarum litterarum spatia vacua restare. Quae difficultas evitatur si ὀγδοίηι scriptum fuisse statuamus. Nam unius litterae spatium etiam ante Ἐλαφηβολιῶνος vacuum relictum est. 4 Supplevit Koehler coll. C. I. Att. II 329, ubi Καλλίστρατος Τελεσί(ν)ου Ἐρχιεὺς prytanis est, monens unius litterae spatium in altera v. 6 parte vacuum fuisse videri. 5 Hunc antiquissimum esse titulum qui hanc formulam exhibet, quum usque ad illud tempus τοὺς προέδρους οἳ ἂν λάχωσι προεδρεύειν fuerit, monuit Koehler.

λασθαι τεῖ β]|ουλεῖ ἢ πρὸς τοὺς στρατηγοὺς ἀπογράψα[σθαι
ἐντὸς μηνὸς Μο]|υνιχιῶνος· μὴ ἐξέστω δὲ μηθενὶ ἐπιδοῦνα[ι
20 πλέον HH δραχμῶν] || μηδ' ἔλαττον [P]. εἶναι δὲ τοῖς ἐπιδοῦσι
[στεφανωθῆναί τε κα]|ὶ ἐπαινεθῆναι καὶ τιμηθῆναι ὑπὸ τοῦ δή-
[μου καθότι ἂν ἦι ἄξι]|ος ἕκαστος αὐτῶν. τὸν δὲ γραμματέα
τοῦ δ[ήμου ἀναγράψαι τό|δ]ε τὸ ψήφι[σμα] καὶ τὰ [ὀ]νόματα τῶν
ἐπιδόντ[ων ἐν στήλει λιθί]|ει κ[α]ὶ σ[τ]ῆσαι ἐν τῆι ἀγορᾶι, ὅπως
25 ἂν φανερ[ὰ ἦι ἅπασιν ἡ φιλοτ]||ιμία τῶν βουλομένων εὐεργετεῖν
[τὸν δ]ῆ[μον· τὸ δὲ ἀνάλωμα τ]|ὸ γενόμενον εἴς τε τὴν στήλην
καὶ τὴν ἀ[ναγραφὴν τῶν ὀνομάτ]|ων μερίσαι τὸν ἐπὶ τῆι διοικήσει. τὸ δὲ ψή[φισμα τόδε, ἐπειδὴ] | περὶ πόρου χρημάτω[ν] ἐστὶν στρατιωτικῶ[ν, εἶναι ἅπαν εἰς φυ]|λακὴν τῆς χώρας[6].

30 Οἵδε ἐπέδωκαν εἰς τὴν σω[τηρίαν τῆς πό]|λεως καὶ τὴν φυλακὴν τῆς [χώρας κατὰ τὸ] | ψήφισμα τοῦ δήμου.

Ἀντιφῶν Ἐρχι.	HH	Δρακοντίδης Ἐρχι.	HH		----
Εὐρυκλείδης Κηφισ.	HH	Ἀριστοφῶν Ἐρχι.	H[H]		----
35 Μικίων Κηφισι.	HH	Ἱεροκλῆς Σουνιε.	HH		----
[Δ]ρομέας Ἐρχιε.	HH	Μικίων Θριασι.	HH		----
[Διο]κλῆς [Ἐ]ρχιε.	HH	Σπουδίας Τειθρα.	HH		----
----------		....ορος Θημακ.	HH		----
----------		.....ρας Ἀφιδ.	HH		----
40 ----------		..... Εἰρεσ.	HH		----
----------		[.....ἐκ Κ]οιλ.	H[H]		----
----------		---- ωνίδης Κολων.			----
----------		ὑπὲρ αὐτοῦ καὶ τοῦ ὑοῦ	HH		Ὑ---
----------υ.	HH	Σῶσος Ἁλαιεύς	HH		Λυ--
45 [-----ἐξ] Οἴου	HH	Ζήνων Ἁλαιεύς	HH		Θε--
----- αθο.	HH	Νικαγόρας Ἐρχι.	HH		Κα--
------ης Μακε.	HH	Λυσίας Κηφισιε.	HH		Φιλ--
----ων Ἀφιδναῖ.	H	Στρατίος Σφήττ.	HH		Αι--
[---γ]νωτος Ἀλωπ.	H	Παυσίμαχος ἐκ Κολ.	HH		Κτ--
50 Εὔμαχος Σωκράτου		Παυσίας Παιανι.	HH		Δ--
Εὐπυρίδης	HH	Σωσίβιος ἰσοτε.	P		Ἱερ--
Φιλίσκος Παμβω.	HH	καὶ ὑπὲρ τοῦ ὑοῦ			Ἱερ--
Ἀριστόλας Ἐρχι.	HH	Διο[ν]υσίου	P		Τιμ--
Θουμόριος Εὐων.	HH	Ξέν[ω]ν Ἀσκληπιάδου			Τι--

6 Cf. 112[12].

55 Ἀρισταγόρας ἐκ Κολ.	HH	Φυλάσιος . [H]H	Αι--
[Ξ]ενοκλῆς Σφήττ.	HH	Ἀσκληπιάδη[ς Ξ]ένω-	Ἀλκ--
[Ξ]άνθιππος Ἐρχι.	HH	νος Φυλ[ά]σιος HH	Δημ---
[Ζ]ώπυρος Συρακ.	HH	Εὐαγίδ[ης] Φιλαΐ. HH	Φυσ--
.ίμων Ὀῆθεν	HH	Κηφισοφ[ῶν Ἀθμ]ον. HH	Κηφι---
60 [Δ]ημόφιλος ἐξ Οἴ.	HH	Ἄρχανδρος Ἐλευσίν. HH	Φειδ---
Ἐρίωτος[7] Μελιτ.	HH	Χαιρεφῶν Εἰτεαῖ. H	Διογ---
Νικοκλῆς Φλυ.	HH	Ἀρίστων Παιανι. HH	Φιλι---
Νικοσθένης Φλυε.	HH	Ἀντίπατρος Παιαν. HH	Πυθο---
Φι[λ]οκλῆς Κοριν.	HH	..νοκ[ράτ]ης Ἅλαι. HH	Ἀμοι[β--]
65 Διοπείθης Φυλά.	HH	Φυρόμ[αχ]ος Στε(ι)ρι. HH	Ἀριστ--
Τίμων Σφήττι.	HH	Αἴσχρων Παιανι. HH	Θεα[ι]τ--
Ἀπολλόδωρος Σωγέν-		Ἀπολλωφάνης Ἀλωπ. HH	Ἐπι.α--
ου Ὀτρυνεύς	HH	Σωσιγένης Παιαν.[8] H	Πραξιτ--
Καλλίμαχος	HH	Θυμοχάρης Σφήττι[9]. HH	Εἰρεσ--[10]
70 Λύκων φιλόσο[11].	HH	Θεόπομπος Λαμπτρ. HH	Θουκρ--
Ἅλε[ξ]ι[ς Φ]υλάσι.	HH	Αὐτίας Ἀχαρνε. HH	Δωρίων--
Ἑκαταῖος Μεσημβρι.	HH	Θεόπομπος Αἰγιλ. HH	Λαχαρ--
Νικήτης Περγασῆ.	H	Λυσιθείδης Ἐρχι. HH	Σιμίας Δ--
[Νι]κοκρά[τη]ς Μελ.	HH	Φιλόθεος Φρεάρρι. HH	Θ[ε]μ[ι]στο--
75 -------- Σφήτ.	HH	Δημόφιλος Φρεάρρι. HH	[Ν]ικομα--
-----ης Σφήτ.	HH	Σώφιλος Κολλυτ. H	*vac.*

7 ΙΟΙΩΤΟΣ Koehler, ΕΡΙΩΓΟΣ Eustrat. Rangabé. Utrum Ἐρίωτος an Βοιωτὸς fuerit incertum, sed illud tamen verisimilius iudicat K. coll. C. I. Att. II 335 ubi ex eiusdem hominis nomine ΡΙΩΤΟΣ superest; certe ipsi Koehlero prima litera P potius quam O fuisse videtur. 8 Archon alicuius ex proximis annis (Revue archéologique XXI p. 349 Ἐπὶ Σωσιγένους ἄρχοντος οἵδε τὸν πύργον ἀνέθηκαν· sequuntur nomina quae plerumque hic quoque exstant) Wilamowitz Antigonos p. 252 not. 7. 9 Phaedri (n. 162) filius. Patris nomen in hoc indice non fuit, nam si fuisset certe iuxta filii collocatum esset (cf. col. I v. 34. 35). Quare Phaedrum tum mortuum fuisse putaverim. Certe titulum 162 hoc antiquiorem esse inde apparet quod illic v. 62 scriptum est καὶ ὅσαι ἐπιδόσεις γεγόνασιν ἐν τῷ δήμῳ, πασῶν μετέσχηκεν. 10 Πραξιτ[έλης Κηφισοδότου] | Εἰρεσίδης supplendum videtur. Nam patris nomen additum fuisse inde apparet, quod sic modo ex huius tituli dispositione demoticum initio versus sequentis collocari poterat (cf. col. I v. 50. 51. 67. 68 col. II v. 54. 55. 56. 57). Homo ex familia Praxitelis sculptoris nobilissimi fuit. 11 Lyco Troadensis, qui fere a. 270—226 a. Chr. Athenis Peripateticorum scholae praefuit (Cf. Diog. Laert. V, 65. Zeller Philosophie der Griechen II, 2 p. 922. v. Wilamowitz Antigonos p. 78 sqq.)

---------- | Ἀριστίων Θημαχ. Η |
---------- | -----ος Φλυεύ. ΗΗ |
---------- | [----Εἴ]ρεσι. Η |
80 ---------- | --------- Η |

165 Tei (*Sevrihissar*). Ed. Lebas-Waddington Asie mineure n. 87.

[---------τοῦ] δήμου[1] πρέσβ[εις ἀπο]|στείλαντος πρὸς Τηΐους ὑπὲρ τοῦ δικαστοῦ, ἵνα παρα]|διδῶσι πρὸς ἡμᾶς τὸν ἄνδρα, καθ' ὅτι ὁ βασιλεὺ[ς ἐκέλ]|ευεν, βουλόμενος ὁ δῆμος ὁ Τηΐων
5 τῶι τε βασιλ[εῖ πείθε]||σθαι καὶ τῆι πόλει ἡμῶν χαρίζεσθαι, ἀπέσταλε[ν ἄνδρ]|α καλὸν καὶ ἀγαθὸν Τύρωνα Πολύθρου[2], ὃς ἀφικόμ[ενος | τ]ῶν δικῶν τὰς μὲν διέλυσεν τὰς δὲ διέβαινεν[3], ἀ[εὶ ἀπὸ π]|αντὸς τοῦ βελτίστου ποιησάμενος τὰς κρίσει[ς· δε-
10 δ]|όχθαι τῆι βουλῆι καὶ τῶι δήμωι, ἐπηινῆσθαι μὲν [τὸν] || δῆ-μον τὸν Τηΐων ἀρετῆς ἕνεκα καὶ εὐνοίας [τῆς] | τε εἰς τὸμ βασιλέα καὶ τὴμ πόλιν ἡμῶν, ἐπα[ινέσ]|αι δὲ καὶ τὸν δικαστὴν Τύρωνα, ὅτι καλῶς καὶ δι[καί]|ως τῶν δικῶν τὰς μὲν διέλυσεν τὰς δε δι[έβαιν]|εν, ἀφ' ἴσου πᾶσι ποιησάμενος τὰς κρίσεις· ἵνα
15 δ[ὲ καὶ || ο]ἱ ἄλλοι πάντες εἰδῶσιν, ὅτι τοὺς εἰς τὴμ πόλ[ιν ἄν-]| δρας ἀγαθοὺς γινομένους ὁ δῆμος τιμᾶι κα[ταξί]|ως, στεφανῶσαι αὐτὸν χρυσῶι στεφάνωι ἀρετ[ῆς ἕνεκ]|α καὶ δικαιοσύνης τῆς τε εἰς τὸν βασιλῆ [καὶ εἰς] | τὸν δῆμον· τῆς δὲ ἀναγγελίας ἐπιμε-
20 λη θῆ[ναι τὸν ἀ]||γωνοθέτην, ἵν' ἀ(ν)αγορευθῆι[4] ἐν τῶι γυμνικῶι ἀ[γῶνι | τ]ῶι συντελουμένωι ὑπὸ τοῦ δήμου βασιλε[ῖ Ἀντιόχ]|ωι

Litteratura volgaris praeter ΞΣ; litterae ΟΘΩ reliquis paullo minores. 1 Bargylietarum, quorum hoc decretum esse v. 24 indicat. Tempus definitur versu 22, ubi Antiochi nomen necessario restituendum esse docuit W., quia Ptolemaeus Soter Cariam omnino non obtinuisset, sed Philadelphus demum ea potitus esset. Ceterum sub finem regni Antiochi, paucis ante 261 a. Chr. annis, haec inscripta esse ex cognomine Σωτῆρος apparere, quod ille post Gallos devictos demum accepisset. 2 Πολύθρους Ὀνησίμου est in lege Teiorum de pueris educandis (v. indicem). In nummo Teio (Mionnet Ionie n. 1483) Πολύθρους legi monuit W. 3 διαβαίνειν δίκην *est une expression nouvelle, dont le sens doit être trancher un procès, le décider sommairement.* W. Mihi simpliciter diiudicandi notionem habere videtur. 4 ΙΝΑΑΓΟΡΕΥΘΗΙ, quod W. retinuit, emendavi cum propter v. 38 tum propter constantem sermonis usum.

Σωτῆρι[5]. εἶναι δὲ αὐτὸν καὶ πρόξενον καὶ εὐερ]|γέτην τῆς πό-
λεως, δεδόσθαι δὲ αὐτῶι καὶ πολ[ιτεί]|αν καὶ μετουσίαν πάντων
25 ὧν καὶ Βαργυλιῆτ[αι || μ]ετέχουσιν, καὶ εἴσοδον ἐπί τε βουλὴν
καὶ ἐ[κκλησ]|ίαν πρώτωι μετὰ τὰ ἱερὰ καὶ τὰ βασιλικά[6], τὰ [δὲ
αὐτὰ ὑ]|πάρχειν καὶ τοῖς ἐγγόνοις αὐτοῦ· τὸν δὲ ἐπιμ[ήνιον
τῶν | τ]αμιῶν[7] ἐπιδοῦναι ὅπως ἀναγρα(φ)ῆι[8] τὸ ὄνομα αὐ[τοῦ |
30 π]ατρόθεν ἐν τῆι στήληι, ἐν ᾗι καὶ οἱ ἄλλοι πρόξε[νοι || κ]αὶ
εὐεργέται καὶ πεπολιτογραφημένοι εἰσὶν· [ἀναγ]|εγραμμένοι· κα-
λέσαι δὲ αὐτὸν καὶ ἐπὶ ξένια ἐ[ν τῶι | π]ρυτανείωι καὶ μετεῖναι
μετὰ τῆς συναρχίας[9]· [ἑλέσθ]|αι[10] δὲ καὶ ἄνδρας οἳ ἀποκατα-
στήσουσιν αὐτ[ὸν εἰς] | τὴν ἰδίαν μετὰ ἀσφαλείας, καὶ ἀποδόντες
35 τὸ [ψήφ]||ισμα παρακαλοῦσιν τὸν δῆμον τὸν Τηΐων εἴς [τε][11] |
τὸν λοιπὸν χρόνον διαφυλάσσειν τὴμ φιλίαν τὴν [ὑπ]|άρχουσαν
ταῖς πόλεσι πρὸς ἀλλήλας, καὶ νῦν [ἐπιμέ]|λειαν ποιήσασθαι
ὅπως καὶ παρ' αὐτοῖς ἀναγο[ρευθ]|ῶσιν αἱ τιμαὶ αἱ διδόμεναι
40 τῶι δικαστῆι, καὶ τὸ [ψήφι]||σμα ἀναγραφῆι ἐν στήληι καὶ στα-
θῆι παρὰ τῶι ἱ[ερῶι· | τ]οῦ Ἡρακλείους· ὅπως δὲ καὶ ὁ βασιλεὺς
εἰδήσηι [περὶ | τ]ούτων ὅτι χρησίμως αὐτῶι τε καὶ τῶι δήμ[ωι
πε]|ποίηται τὰς κρίσεις καὶ ἀπὸ παντὸς τοῦ βελ[τίστου, | ἀ]πο-
45 δοῦναι καὶ τῶι βασιλεῖ τὸ ψήφισμα τὴμ πρό[τερον || ἀ]ποσταλεῖ-
σαν πρὸς αὐτὸν πρεσβείαν, ὡς ἂν τά[χιστ]|α παραγένηται ἐς
τοὺς τόπους, ἀναγγεῖλα[ι δὲ] | καὶ Ἀλεξάνδρωι[12] τῶι [καταλ]ε-
λειμμένωι ὑπὸ [τοῦ | β]ασιλέως τοὺς προ[απεσταλ]μένους πρὸς
50 αὐτ[ὸν | π]ρεσβευτὰς τὰ δεδογμένα τῶι δήμωι ὑπὲ[ρ τοῦ] || δικαστοῦ.
ἡιρέθησαν Θεαίτητος Ἀναξίπ[που[13], | Ἀ]πολλωνίδης Θεοπόμπου.

---

5 Cf. not. 1. 6 Cf. n. 132[5]. 7 Collegium erat quaestorum, cui alio mense alius ex collegarum numero praeerat. 8 Emendavi. ΑΝΑ ΓΡΑΥΗΙ, quod W. retinuit, ad quaestorem pertinere non posse manifestum est. Alius vero homo, ad quem referatur, nusquam commemoratus est. 9 Singularis indicat, omnes magistratus coniunctos unum collegium effecisse (cf. 132[4]). 10 Supplevi. [διαλέξ]|αι W. 11 Supplevi. εἰς | τὸν λοιπὸν W. Sed reliqui versus omnes in fine mutili sunt neque ex Lebasii exemplo conici licet, hunc integrum esse. 12 Cf. 171, 101 cum nota. 13 Supplevi. Ἀναξιπ[όλιος W., cui nomini spatium sufficere non videtur.

---

166 Tabula inventa in parietinis Erythrarum et delata Smyrnam in museum archaeologicum. Edd. Io. Demetriadis Ἰωνία n. 116 (12. Juli 1876). Papadopulos Ἀμάλθεια n. 2170.

sqq. Ex his exemplis et ectypis chartaceis E. Curtius Monatsberichte der Kgl. Akademie in Berlin 1876 p. 554 sqq.

Βασιλεὺς Ἀντίοχος[1] Ἐρυθραίων τῆι βουλῆι καὶ τῶι δήμωι | χαίρειν· Θαρσύνων καὶ Πυθῆς καὶ Βοττᾶς[2] οἱ παρ' ὑμῶν πρεσ|βευταὶ τό τε ψήφισμα ἀπέδωκαν ἡμῖν, καθ' ὃ ἐψηφίσασθε | τὰς τιμάς, καὶ τὸν στέφανον ἀνήνενκαν, ὧι ἐστεφανώ||σατε ἡμᾶς, ὁμοίως δὲ καὶ τὸ χρυσίον τὸ εἰς τὰ ξένια, καὶ | αὐτοὶ ἀπολογισάμενοι περί τε τῆς εὐνοίας ἣν διὰ παντὸς | εἰσχήκατε εἰς τὴν ἡμετέραν οἰκίαν, καὶ καθόλου περὶ τῆς εὐχα|ριστίας τοῦ πλήθους, ἧι χρῆται πρὸς ἅπαντας τοὺς εὐερ|γέτας, ἔτι δὲ καὶ τὴμ προαγωγήν[3], ἐν ἧι γέγονεν ἡ πόλις ἐπὶ τῶν πρό||τερον βασιλευσάντων, ἠξίουν[4] μετὰ πάσης σπουδῆς τε καὶ | προθυμίας φιλικῶς διακεῖσθαι ὑμῖν καὶ ἐμοῦ[5] πᾶσιν τοῖς ἀνή|κουσι πρὸς τιμὴν καὶ δόξαν συναύξειν τὰ τῆς πόλεως· τάς | τε δὴ τιμὰς καὶ τὸν στέφανον δεδέγμεθα οἰκείως, ὁμοίως δὲ | καὶ τὰ ξένια, καὶ ὑμᾶς ἐπαινοῦμεν εὐχαρίστους ὄντας ἐμ πᾶ||σιν· φαίνεσθε γὰρ καθόλου ἀγωγῆι ταύτῃ χρῆσθαι· διὸ καὶ ἐν ἀρχῆι | τε αἱρούμενοι διατελοῦμεν τὴμ πρὸς ὑμᾶς εὔνοιαν, θεωροῦν|τες ἁπλάστως καὶ ἀληθινῶς ἐμ πᾶσι προςφερομένους, καὶ νῦν | πολύ τι μᾶλλον ἐπεσπάσμεθα, κατανοοῦντες τὸ εὐγενὲς | ὑμῶν καὶ ἐξ ἑτέρων μὲν πλεόνων, οὐχ ἥκιστα δὲ ἔκ τε τοῦ ψη||φίσματος τοῦ ἀποδοθέντος ἡμῖν καὶ ἐκ τῶν ῥηθέντων ὑπὸ | τῆς πρεσβείας· καὶ ἐπειδὴ οἱ περὶ Θαρσύνοντα καὶ Πυθῆν καὶ Βοτ|τᾶν ἀπέφαινον διότι ἐπί τε Ἀλεξάνδρου καὶ Ἀντιγόνου[6] αὐτό|[ν]ομος ἦν καὶ

1 Antiochum I Sotera (280—261 a. Chr.) intellexerunt editores Graeci assentientibus Curtio et Droyseno Gesch. des Hellenismus III, 1 p. 254 not. 1. 2. At horum sententiae repugnare quae scripta sunt v. 28 οἱ ἡμέτεροι πρόγονοι ἔσπευδον ἀεί ποτε περὶ αὐτῆς, et propterea titulum necessario ad Antiochum II Deum (261—246 a. Chr.) referendum esse docui Hermae XVI p. 197. 2 Aut idem homo aut eius filius praetor Erythraeorum fuit initio regni Seleuci II Callinici (n. 172, 4). 3 Neglegentia quadam sic scriptum est cum deberet περὶ τῆς προαγωγῆς. 4 Hic apodosin incipere, cum tamen iusta protasis non antecessisset, Curtius sibi persuasit, iniuria: videtur enim ἠξίουν primam singularis personam putasse, quae manifesto tertia pluralis est ad legatos relata. Usque ad v. 13 exponitur, quid legati ab rege petiverint; tum demum a verbis τάς τε δὴ τιμὰς καὶ τὸν στέφανον δεδέγμεθα responsum regis incipit. 5 Hoc vocabulum lapicidae errore corruptum videtur. 6 Seleuco igitur et Antiocho I regnante non amplius libera et immunis fuit civitas. Neque enim de suis maioribus quicquam

ἀφορολόγητος ἡ πόλις ὑμῶν, καὶ οἱ ἡμέτεροι πρόγο|[νοι] ἔσπευ-
25 δον ἀεί ποτε περὶ αὐτῆς, θεωροῦ(ν)τες τούτους τε κρ||[νανν]τας
δικαίως καὶ αὐτοὶ βουλόμενοι μὴ λείπεσθαι ταῖς εὐερ|[γεσ]ίαις,
τήν τε αὐτονομίαν ὑμῖν συνδιατηρήσομεν καὶ ἀφορο|[λογ]ήτους
εἶναι συγχωροῦμεν τῶν τε ἄλλων ἁπάντων καὶ | [τῶν εἰς] τὰ Γαλα-
τικὰ[7] συναγομένων. ὑπάρξει δὲ καὶ ἡ|[-------- καὶ ἐά]ν τι
30 ἄλλο φιλάνθρωπον ἢ ἡμεῖς ἐπινοήσωμεν ἢ || [αὐτοὶ ὑμεῖς αἰτή-
σησθ]ε[8]. παρακαλοῦμεν δε καὶ ὑμᾶς μνημονεύον|[τας -------
------- τ]ὴν ἐκτενεστάτην πεῖραν εἰληφότων, ἃς δια|-----
-------- τε καὶ τοῖς προγεγενημένοις ὑμῖν ἀκο|[λουθ------
------ε]ὐεργέτησθε μνημονεύσειν ἀξίως | ---------- τῶν
35 ἄλλων ὧν συλλελαλή||[καμεν[9] ἡμεῖς τε καὶ οἱ ὑμέτεροι] πρεσβευ-
ταί, οὓς διά τε τὰ ἄλ||[λα ἃ ἔπραξαν ἐπαινοῦμεν καὶ δ]ιὰ τὴν
σπουδὴν ἣν ἐποιοῦν|[το περὶ τῶν ὑμῖν συμφερόντων.] ἔρ(ρ)ωσθε.

praedicat quam curam et benevolentiam (τὴμ προαγωγὴν v. 9. ἔσπευδον περὶ αὐτῆς v. 24). Quare recte Curtius autonomiam a Seleuco ereptam hac ipsa epistula Erythraeis restitui iudicavit. Neque vero F. Lamprechtii (De rebus Erythraeorum publicis. Berol. 1871 p. 44) sententia, ab Antiocho II Deo id factum esse, hoc titulo infringitur, sed confirmatur (cf. not. 1). 7 Tributum ad bellum Galaticum ab prioribus regibus impositum, quod eo facilius Antiochus Erythraeis remittere potuit, quia patris victoria periculum ab illa gente imminens depulsum erat. 8 Supplevi. 9 Versus 35—37 restituere conatus sum, qua in re me non unumquodque verbum praestare velle vix est quod dicam.

167 Columna cum anaglypho inventa Tegeae (*Piali*). Ed. P. Foucart, Mémoire sur un décret inédit de la ligue Arcadienne en l' honneur de l' Athénien Phylarchos. (Mém. prés. par divers savants à l'Académie des Inscr. T. VIII). Paris. 1870. Lebas-Foucart Meg. et Pelop. 340 *a*. Cf. quae de titulo disputavit M. Klatt, Forschungen zur Geschichte des achaeischen Bundes I. Berl. 1877. p. 93 sqq.

Θεός: τύχη. | Ἔδοξεν[1] τῆι βουλῆι[2] τῶν | Ἀρκάδων καὶ τοῖς |

1 Litterae volgares. 1 Non posse haec alio tempore decreta esse quam initio anni 224 a. Chr. ex civitatium quae hic communi Arcadum concilio intersunt recensu probare conatus est Foucart. Contra quem docte et sagaciter disputavit Klattius docuitque, non modo fieri potuisse, ut antiquiore etiam

5 μυρίοις[3], Φύλαρχον ‖ Λυσικράτους Ἀθηναῖον[4] | πρόξενον καὶ εὐεργέτην | εἶναι Ἀρκάδων πάντων | αὐτὸν καὶ γένος.

δαμιοργοὶ οἵδε ἦσαν·

10	Τεγεᾶται	Κυνούριοι
	Φαιδρέας	Τιμοκράτης
	Ἀριστοκράτης	Καλλικλῆς
	Νίκαρχος	Λαφάνης
	Ξενοπείθης	.άις
15	Δαμοκρατίδας	Σάις
	Μαινάλιοι	Ὀρχομένιοι
	Ἀγίας	Εὐγείτων

tempore hi populi societatis Arcadum participes essent, sed omnino reiciendam esse Foucarti aetatis definitionem. Nam anno 224 a. Chr. Lepreum in Eleorum potestate fuisse, concessum eis a Lydiada Megalopolitanorum tyranno. Quare, quum iure sane Foucartus negasset Megalopolitas, quo tempore sub tyrannorum dominatione essent, communi Arcadum concilio interesse potuisse, aut inter Epaminondae tempora et Aristodemi tyranni initia (369 — fere 265 a. Chr.), aut inter Aristodemi necem et Lydiadae tyrannidem (fere 251—238 a. Chr., cf. Polyb. X, 22, 2. 3. Klatt p. 99) hunc titulum dedicatum esse. Atque hoc quidem praefert Droysen Gesch. des Hell. III, 2 p. 131, quum dicat haud improbabile esse, ut Aratus tum Sicyone liberata Achaeorum foedus condidisset, sic socios eius Demophanem et Ecdemum Aristodemo necato foedus Arcadum restituisse. Quod argumentum lubricum esse vix ipsum fefellerit, sed in summa rei eum verum vidisse existimo maxime propter dialectum Atticam decreti. Ea enim quarto a. Chr. natum saeculo vel adeo initio tertii Arcadum concilium usum esse incredibile est. Quod si statuemus intra annorum 251—238 a. Chr. spatium haec scripta esse, veri haud dissimile erit, Aristonem Megalopolitanum, quem in rebus Achaicis annorum 169 et 168 a. Chr. commemorat Polybius XXVIII, 6, 2. 8. XXIX, 25, 6, eius quem hic habemus damiorgum (v. 24) nepotem esse. 2 Quinquaginta damiorgos, qui infra recensentur, hunc senatum effecisse summa cum veri specie coniecit F. 3 Concilium commune Arcadum hoc nomine institutum Epaminondae aetate haud raro commemoratur apud scriptores (Xen. Hell. VII, 1, 38. 4, 2. Dem. XIX, 11. Aesch. II, 79. Diodor. XV, 59. Paus. VIII, 32, 1. Harpocr. (Suid. Phot.) s. v.) F. Inter haec duo concilia eadem ratio intercedebat atque in singulis civitatibus inter senatum et comitia. 4 Rerum scriptorem nobilissimum, quem sane veteres (Athen. II 58 C. Suidas s. v.) Atheniensem aut Naucratitam fuisse referunt, intellegit Foucart. Sed eam opinionem admodum debili fundamento niti iam Sauppius ind. lect. Gotting. hib. 1876/77 p. 4 monuit; nunc vero cum de aetate tituli Foucartum errasse constet (cf. not. 1) de illo cogitari non amplius licet.

	Εὐγειτονίδας	Ἀμύντας
	Ξενοφῶν	Πάμφιλος
20	Λεπρεᾶται	Παυσανίας
	Ἱππίας	Καλλίας
	Γάδωρος	Κλ[η]τόριοι
	Μεγαλοπολῖται	Τηλίμαχος
	Ἀρίστων	Ἀλκμᾶν
25	Βλύας	Αἰσχύτης
	Ἀρχέψιος	Δαμάγητος
	Ἀτρεστίδας	Πρόξενος
	Γοργέας	Ἡρᾶς
	Σμίνθις	Ἀλεξικράτης
30	Πλειστίερος	Σιμίας
	Νῖκις	Θεόπομπος
	Λάαρχος	Ἀγίας
	Πολυχάρης	Ἱπποσθένης
	Μαντινῆς	Θελφούσιοι
35	Φαῖδρος	Πολέας
	ϝᾶχος	Ἀλεξίας
	Εὐδαμίδας	Ἐχίας
	Δαΐστρατος	Παυσανίας
	Χαρείδας	Λύκιος

168 Basis marmoris albi inventa Deli prope forum. Ed. Th. Homolle Bulletin de correspondance Hellénique IV (1880) p. 325 n. IV.

Οἱ νησιῶται[1] τὸν ναύαρχον | Καλλικράτην Βοΐσκου Σάμιον[2] | ἀνέθηκαν.

Litterae ΑΣ. 1 Cf. 153[2]. 2 Exstant duo epigrammata (Athen. VII p. 318d. Mus. Rhen. XXXV p. 91) quae docent Callicratem nauarchum Arsinoae sorori et coniugi Ptolemaei Philadelphi templum Zephyrii dedicasse. Eundem Olympiae eiusdem Arsinoae et Ptolemaei mariti statuas posuisse videmus ex n. 152. H. Num idem sit Callicrates, quem Ptolemaeus Lagi in Cyprum misit anno 310 a. Chr. (Diodor. XX, 21. Wilamowitz Antigonos p. 88), dubito. Hunc titulum Euergeta regnante incisum esse propter litteraturae cum n. 169 similitudinem veri simile est, praesertim cum Callicratem usque ad illius regnum superstitem fuisse etiam propterea probabile

sit, quia templi Arsinoës exstructio Philadelphi morte interpellata est (Wilamowitz Antigonos p. 338).

---

169 Basis quadrata marmoris albi, inventa Deli prope templum Apollinis. Ed. Th. Homolle Bulletin de correspondance Hellénique III (1879) p. 470 n. 2.

Χρύσερμον Ἡρακλείτου Ἀλεξανδρέα[1], | τὸν συγγενῆ βασιλέως
Πτολεμαίου | καὶ ἐξηγητὴν καὶ ἐπὶ τῶν ἰατρῶν, | καὶ ἐπιστάτην
5 τοῦ Μουσείου[2], ‖ Ἄρειος Παμφίλου Ἀθηναῖος | καλοκαγάθίας ἕνεκεν τῆς εἰς ἑαυτὸν | Ἀπόλλωνι, Ἀρτέμιδι, Λητοῖ.

Litterae ΑΞΠΣ. 1 Hunc Ptolemaei III Euergetae (247—223 a. Chr.) aetate floruisse consentaneum est, quia filium eius inter amicos regis Ptolemaei IV Philopatoris (226—206 a. Chr.) fuisse scimus (Plut. Cleomenes 36). Huius rursus filiorum alter Ptolemaeus cum filio suo a. 188|7 a. Chr., alter Glauco 185|4 a. Chr. proxenus Delphorum factus est (n. 198, 132. 185). Homolle. 2 Cf. Strabo XVII p. 794 ἔστι δὲ τῇ συνόδῳ ταύτῃ καὶ χρήματα κοινά, καὶ ἱερεὺς ὁ ἐπὶ τῷ Μουσείῳ τεταγμένος τότε μὲν ὑπὸ τῶν βασιλέων, νῦν δ' ὑπὸ Καίσαρος. Quos sacerdotes quod eosdem fuisse cum bibliothecariis coniecit Parthey das Alexandrinische Museum p. 57, ea opinio hoc titulo refellitur.

---

170 In vico *Ieronda* inter reliquias templi Apollinis Didymei exscripsit Sherard, cuius ex schedis ed. Chishull Antiq. Asiat. p. 66 sqq. Boeckh C. I. G. 2852, qui varietate lectionis ex schedis Sherardi a Muellero enotata usus est.

Ἐπὶ στεφανηφόρου Ποσειδίππου, | ταμιευόντων τῶν ἱερῶν χρημά-
|των Τιμέα τοῦ Φύρσωνος, Ἀρισταγόρα | τοῦ Ν(ο)ήμονος[1], Κλεομή-
5 δους τοῦ Κρεί|σ(σ)ονος[2], Φιλίππου τοῦ Σωσιστράτου, Ἀλεξάν|δρου τοῦ Λοχήγου, Πολυξένου τοῦ Βαβίωνος, | τάδε ἀνέθηκαν βασιλεῖς Σέλευκος καὶ | Ἀντίοχος[3] τὰ ἐν τῆι ἐπιστολῆι γε|γραμμένα.

Litterae ΘΞΠ (praeter paucos locos ubi Ρ est) Σ. 1 ΝΑΗ 2 Nomen dubium, praesertim cum v. 4 extr. Chishull quidem ΚΡΕΙ, Sherardi vero schedae ΚΛΕΙ habeant. 3 Seleucum II Callinicum cum fratre Antiocho Hierace intellegendum esse manifestum est, neque improbabilis Boeckhii sententia, statim post Antiochi II mortem (246 a. Chr.) haec filiorum donaria Miletum

10 Βασιλεὺς Σέλευκος Μιλησίων τῆι βουλῆι | καὶ τῶι δήμωι χαίρειν· ἀφεστάλκαμεν εἰς | τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ ἐν Διδύμοις | τήν τε λυχνίαν τὴν μεγάλην καὶ ποτήρια | χρυσᾶ καὶ 15 ἀργυρᾶ εἰς ἀνάθεσιν τοῖς θεοῖς || τοῖς Σωτῆρσι κομίζοντα Πολιάνθην[4], ἐπι|γραφὰς ἔχοντα. ὑμεῖς οὖν ὅταν παραγί|νηται, λαβόντες αὐτὰ ἀγαθῆι τύχηι | ἀπόδοτε εἰς τὸ ἱερόν, ἵνα ἔχητε 20 σπένδειν | καὶ χρᾶσθαι ὑγιαινόντων ἡμῶν καὶ εὐτυχούν||των καὶ τῆς πόλεως διαμενούσης ὡς ἐγὼ | βούλομαι καὶ ὑμεῖς -------- --------[5] | δὲ Πολιάνθηι καὶ τὴν ἀνάθεσιν ποιούμενοι | τῶν ἀπεσταλμένων συντελέσατε τὴν θυσίαν | ἣν συντετάχαμεν αὐτ|ῶ|ι[6]. 25 συνεπιμελήθητε || οὖν ἵνα γένηται κατὰ τρόπον· τῶν δὲ ἀφεσ|ταλμένων χρυσωμάτων καὶ ἀργυρωμάτ|ων εἰς τὸ ἱερὸν ὑπογέγραφα ὑμῖν τὴν γραφήν, | ἵνα εἰδῆτε καὶ τὰ γένη καὶ τὸν σταθμὸν | ἑκάστου. ἔρρωσσθε.

30 Γραφὴ χρυσωμάτων τῶν ἀφεσταλμένων.

Φιάλη καρυωτὴ[7] Ἀγαθῆς Τύχης μία, ὁλκὴ | δραχμαὶ διακόσιαι τεσσεράκοντα ἑπτά. | ἄλλη καρυωτὴ Θέμιδος μία, ὁλκὴ δραχμαὶ 35 | ἑκατὸν ἐνενήκοντα. ἄλλη καρυωτὴ Λητοῦς || μία, ὁλκὴ δραχμαὶ ἑκατὸν ἑξήκοντα ὀκτὼ | τρεῖς ὀβολοί. ἄλλη καρυωτὴ Ἑκάτης μία, ὁλκὴ | δραχμαὶ ἑκατὸν δεκατρεῖς. παλιμπότων | τραγε-

---

missa esse. Sic enim intellegitur, cur uterque quidem dedicationis auctor dicatur, sed epistula a solo Seleuco scripta sit, Antiocho etiamtum impubere. 4 πολιάνθην editores. At Chishullum, qui unguentum ex polio factum intellexerat, refutavit Boeckhius. Huius ipsius vero interpretatio, qui πολιάνθην aromata v. 58—66 enumerata significare vult, fundamento omnino caret; nam quomodo in hac voce eam vim inesse posse demonstratur? Accedit quod inepte neque Graece vasa aurea et argentea dicuntur κομίζειν aromata illa. Neque omnino usquam in litteris Graecorum praeter hunc ipsum locum exstat hoc appellativum, cum nomen proprium Πολιάνθης etiam aliunde notum sit (cf. n. 230, 6). Id igitur reponere non dubitavi. Polianthes est qui dona regia Miletum affert; si quem offendit collocatio verborum, is conferat Xen. Anab. I, 2, 21 καὶ τριήρεις ἥκουε περιπλεούσας ἀπ' Ἰωνίας εἰς Κιλικίαν Ταμῶν ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ Κύρου. 5 ΥΜΕΙΣΕΙΣΔΕΧΕΤΕΕΠΕΣΤΑΛΜΕΝΑ Sherard. ΥΜΕΙΣΧΡΙΕΣ ΘΕΕΝΤΕΤΑΛΜΕΝΗΙΤΗΙ Chishull. Quae adeo inter se discedunt tamque gravem manifesto corruptelam passa sunt, ut de restituendis in integrum desperandum videatur. 6 ΑΥΤΟΙ. Emendavi. Nam de eis quae Polianthi mandata sint hic dici etiam ex sequentibus συνεπιμελήθητε δὲ colligo. 7 Καρυωτὴ φιάλη est glandulis palmae, haud dubie cum spathis suis, ornata; caryotam Romanorum, quae Kalendis Ianuariis a pauperioribus dono dabatur, contulit Chishull'. Boeckh.

λάφων προτομῶν ἐςγεγραμμένων | Ἀπόλλωνος ζεῦγος ἕν, ὁλκὴ
40 δραχμαὶ τρια||κόσιαι δεκαοκτώ, τρεῖς ὀβολοί. ἄλλο παλίμπο|τον,
ἐλάφου προτομή, ἐπιγεγραμμένον | Ἀρτέμιδος, ἕν, ὁλκὴ δραχμαὶ
ἑκατὸν ἑξήκον|τα μία. κέρας ἐπιγεγραμμένον Διὶ σωτῆρι ἕν, | ὁλκὴ
45 δραχμαὶ ἑκατὸν ἑβδομήκοντα τρεῖς, || τρεῖς ὀβολοί. οἰνοχόα Θεῶν
Σωτήρων μία, | ὁλκὴ δραχμαὶ τριακόσιαι ὀγδοήκοντα ἕξ. | ψυκ-
τὴρ βαρβαρικὸς λιθόκολλος, ἐπιγεγραμ|μένος Σωτείρας, εἷς,
ἔχων ἀποπεπτωκότα | κάρυα ἑπτά, ὁλκὴ δραχμαὶ τριακόσιαι ἑβ-
50 δο||μήκοντα δύο. μαζόνομον χρυσοῦν, ὁλκὴ | δραχμαὶ χίλιαι ὀγδοή-
κοντα ὀκτώ. εἷς τὸ π|ᾶν χρυσωμάτων δραχμαὶ τριςχίλιαι δια-|
κόσιαι τεσσεράκοντα ὀκτώ, ὀβολοὶ τρεῖς. | σκύφος ἀργυροῦς το-
55 ρευτὸς ζφωτός, || ἔχων σχοινίδα[8], εἷς, ὁλκὴ δραχμαὶ τριακόσιαι
| ὀγδοήκοντα. ψυκτὴρ ἀργυροῦς μέγας | δίωτος, ὁλκὴ δραχμαὶ
ἐνακιςχίλιαι. | λιβανωτοῦ τάλαντα δέκα, σμύρνης | τάλαντον ἕν,
60 κασίας μναῖ δύο, κινναμώ||μου μναῖ δύο, κόστου μναῖ δύο. λυ-
χνία | χαλκῆ μεγάλη. ⟨ε⟩προςήγαγεν[9] δὲ καὶ θυσίαν | τῶι θεῶι,
ἱερεῖα χίλια καὶ βῶ[ς][10] δώδεκα.

---

8 Ornamentum scyphi iuncos cum fructibus referens interpretatur Boeckhius refutata Chishulli explicatione inepta. 9 ΕΠΡΟΣΗΓΑΓΕΝ Sher. ΕΠΡΟΣΤΕΤΑΓΕΝ Chish. Recte illum sequitur Boeckh, sed iniuria ad regem Seleucum rettulit, qui nullo modo adduxisse dici potuit victimas, sed misisse. Immo hinc quoque apparet, supra hominem aliquem a rege cum donariis missum nominatim commemoratum fuisse, ut confirmetur sententia mea de Polianthe (not. 4). 10 βω[μοὺς] Chishull adsentiente Boeckhio. At in utroque apographo unius modo litterae defectus notatur, neque illud de aris per se credibile est. Nam quod Boeckhius dicit, sive portatiles fuissent illae arae sive ex lapidibus structae, potuisse iis verbum προςήγαγεν adaptari, quod navi advecti etiam lapides esse possent, est illud quidem manifesto verum. At nonne Seleucus sic ineptissime egisset, quasi non dei Milesiorum quibus ille victimas mittebat, suas aras habuissent? Immo mille oves (sic ἱερεῖον hic ut in aliis nonnullis titulis intellegendum) mittuntur, duodecim boves, quo in genere victimarum hic numerus iam inde ab Homeri aetate usitatus est.

---

171 Lapis Oxoniensis. Ex apographo a Seldeno, Patricio Iunio, Ricardo Iamesio confecto editus est titulus apud Maittairium Marm. Oxon. n. 2, ubi etiam duorum aliorum apographorum (*A B* apud Boeckh.) ab ignoto aliquo homine docto factorum

variae lectiones exstant. Deinde edd. Chandler Marm. Oxon. II, 26. Boeckh C. I. G. 3137.

Ἔδοξεν τῶι δήμωι[1], στρατηγῶν γνώ[μ]η· ἐπειδὴ πρότερόν τε καθ' ὃν καιρὸν ὁ βασιλεὺς Σέλευκος[2] ὑπερ|έβαλεν εἰς τὴν Σελευκίδα[3], πολλῶν [κ]αὶ μεγάλων κινδύνων περιστάντων τὴμ πόλιν ἡμῶν καὶ τὴν | χώραν, διεφύλαξεν ὁ δῆμος τὴμ πρὸς αὐτὸν εὔνοιάν τε καὶ φιλίαν, οὐ καταπλαγεὶς τὴν τῶν ἐναντίων ἔφοδον | οὐδὲ φροντίσας τῆς τῶν ὑπαρχόντων ἀ[π]ωλείας, ἀλλὰ πάντα δεύτερα ἡγησάμενος εἶναι πρὸς τὸ διαμεῖ|ναι ἐν τῆι αἱρέσει καὶ ἀντιλαβέσθαι τῶμ π[ρ]αγμάτων κατὰ τὴν ἑαυτοῦ δύναμιν καθότι ἐξ ἀρχῆς ὑπέσστη[4]· διὸ | καὶ ὁ βασιλεὺς Σέλευκος, εὐσεβῶς τὰ πρὸς τοὺς θεοὺς διακείμενος καὶ φιλοστόργως τὰ πρὸς τοὺς γονεῖς, μεγα|λόψυχος ὢν καὶ ἐπιστάμενος χάριτας ἀποδιδόναι τοῖς ἑαυτὸν εὐεργετοῦσιν, ἐτίμησεν τὴμ πόλιν ἡμῶν διά | τε τὴν τοῦ δήμου εὔνοιαν καὶ φιλοτιμίαν ἣν ἐπεποίητο εἰς τὰ πράγματα αὐτοῦ καὶ διὰ τὸ τὸμ πατέ|ρα αὐτοῦ θεὸν Ἀντίοχον[5] καὶ τὴμ μητέρα τὴν τοῦ πατρὸς θεὰν Στρατονίκην[6] ἱδρῦσθαι παρ' ἡμῖν τιμωμέ|νους τιμαῖς ἀξιολόγοις καὶ κοινῆι ὑπὸ τοῦ πλήθους καὶ ἰδίαι ὑφ' ἑκάστου τῶμ πολιτῶν καὶ ἐβεβαίωσεν τῶι δήμωι τὴν αὐ|τονομίαν καὶ δημοκρατίαν, ἔγραψεν δὲ καὶ πρὸς τοὺς βασιλεῖς καὶ τοὺς δυνάστας καὶ τὰς πόλεις καὶ τὰ ἔθνη ἀξι|ώσας ἀποδέξασθαι τό τε ἱερὸν τῆς Στρατονικίδος Ἀφροδίτης[7] ἄσυλον εἶναι καὶ τὴμ πόλιν ἡμῶν

Litterae volgares praeter ΘΞΣ. 1 Smyrnaeorum. 2 Seleucus II Callinicus (246—226 a. Chr.). Is initio regni bellum cum Ptolemaeo Euergeta gessit, in quo quum plurimae civitates ab eo defecissent, Smyrnaei in fide manserunt. Nam ad hanc priorem expeditionem sine dubio referenda sunt verba πρότερόν τε — ἐξ ἀρχῆς ὑπέστη (v. 1—6). Quos cum magnis laudibus praemiisque affecisset rex (διὸ καὶ ὁ βασιλεὺς — ἱερὰν καὶ ἄσυλον v. 6—12), iterum bellum exarsit Seleucusque trans Taurum profectus est (νῦν τε ὑπερβεβληκότος v. 12). Cf. Iustin. XXVII, 1, 2. Inde Seldenus Boeckhiusque collegerunt, fere anno 244 a. Chr. haec decreta esse. 3 De Seleucide cf. 156[4]. 4 ΥΠΕΣΣΤΗ Maitt., geminatione in titulis omnium regionum et aetatum frequentissima. 5 Antiochus II Deus (261—246 a. Chr.). 6 Stratonice Demetrii Poliorcetae filia, uxor primo Seleuci I Nicatoris, deinde eius filii Antiochi I Soteris, ex quo peperit Antiochum II Deum, Seleuci Callinici patrem. 7 Cf. C. I. G. 3156: [τὸ τέ]μενος [ἐστὶν] ἱερὸν Ἀφροδίτης Στρατονικίδος [θε]οῦ. Tac. Ann. III, 63: *nam Smyrnaeos oraculum Apollinis, cuius imperio Stratonicidi Veneri templum dicaverint, — referre.* Qui locus simul ius asyli testatur. Boeckh.

ἱερὰν καὶ ἄσυλον· νῦν τε ὑπερ|βεβληκότος τοῦ βασιλέως εἰς τὴν Σελευκίδα οἱ στρατη[γο]ὶ σπεύδοντες διαμένειν τῶι βασιλεῖ τὰ πράγματα συμφερόντως διε|πέμψαντο πρὸς τοὺς ἐμ Μαγνησίαι[8] κατοίκους καὶ πρὸ[ς] τοὺς ὑπαίθρους ἱππεῖς καὶ στρατιώτας
15 καὶ ἀπέστειλαν ἐξ αὐτῶν || ἕνα Διονύσιον τὸμ παρακαλέσοντα αὐτοὺς δια[φυ]λάσσειν τὴμ φιλίαν καὶ συμμαχίαν βασιλεῖ Σελεύκωι εἰς | πάντα τὸγ χρόνον, ἐπαγγελλόμενοι διατηρούντων αὐτῶ[ν] τὰ πράγματα καὶ τὸν αὐτὸν ἐχθρὸγ καὶ φίλον ἡγουμένων ὑπάρξειν αὐ|τοῖς παρὰ τοῦ δήμου καὶ παρὰ τοῦ βασιλέως Σελεύκου πάν[τ]α τὰ φιλάνθρωπα καὶ καλῶς ἔχοντα καὶ ἀποδοθήσεσθαι χάρι|τας αὐτοῖς ἀξίας τῆς αἱρέσεως· οἱ δὲ ἐμ Μαγνησίαι παρακληθέντες καὶ αὐτοὶ ὄντες πρόθυμοι πρὸς τὸ διαφυλάσσειν τῶι βασιλεῖ τήν τε φι|λίαν καὶ τὴν συμμαχίαν καὶ διατηρεῖν αὐτῶι τὰ πράγματα, τά τε ἀξιωθέντα ὑπὸ τῶν στρατηγῶν φιλοτίμως ἀπεδέξαντο καὶ
20 ἐπαγγέλ||λονται τὴν αὐτὴν ἕξειν αἵρεσιν τῶι δήμωι τῶι ἡμετέρωι εἰς πάντα τὰ τοῦ βασιλέως Σελεύκου συμφέροντα καὶ ἀπεστάλκασιν | πρὸς ἡμᾶς πρεσβευτὰς ἐγ μὲν τῶγ κατοίκων Ποτάμωνα καὶ [Ἱ]εροκλῆν, ἐγ δὲ τῶν ὑπαίθρων Δάμωνα καὶ Ἀπολλωνικέτην, τοὺς δ[ια]||λεξομένους τε ἡμῖν καὶ ἀνοίσοντας τὴν ὁμολογίαν καθ' ἣν ἀξι[ο]ῦσιν συνθέσθαι τὴμ πρὸς ἑαυτοὺς φιλίαν· ἐπαχθέντες δὲ καὶ οἱ | πρεσβευταὶ ἐπὶ τὸν δῆμον συνλελαλήκασιν ὑπὲρ ἁπάντων ἀκολ[ού]θως τοῖς ἐν τῆι ὁμολογίαι γεγραμμένοις, ἀγαθῆι τύχηι, δεδόχθα[ι] | τήν τε φιλίαν συντίθεσθαι πρὸς τοὺς ἐμ Μαγνησίαι ἐπὶ πᾶσι το[ῖς] τοῦ βασιλέως Σελεύκου συμφέρου-
25 σιν, καὶ ἀποδεῖξαι πρὸς αὐτοὺ[ς] || πρεσβευτὰς τρεῖς, οἵτινες τὴν ὁμολογίαν τε ἥτις ἂν δόξηι τῶι δήμωι ἀνοίσουσιν αὐτοῖς καὶ περὶ τῶγ γεγραμμένων ἐν αὐτῆι δι[α]|λεγήσονται καὶ παρακαλέσουσιν αὐτοὺς δέχεσθαί τε καὶ συντελεῖν τὰ ἐν τῆι ὁμολογίαι γεγραμμένα, καὶ ἐάμπερ δέξωνται οἱ ἐμ | Μαγνησίαι, ὁρκισάτωσαν αὐτοὺς οἱ ἀποδειχθησόμενοι πρεσβευταὶ τὸν ὅρκον τὸν ἐν τῆι ὁμολογίαι γεγραμμένον· προςδεξαμέν[ων] | δὲ ταῦτα τῶν ἐμ Μαγνησίαι καὶ συνσφραγισαμένων τὴν ὁμολογίαν καὶ ὀμοσάντων καὶ ἐπανελθόντων τῶμ πρεσβευτῶν συ[ντε]|λείσθω καὶ τὰ λοιπὰ

---

8 Magnesiam ad Sipylum esse Boeckhius, quum antiquiores cognominem urbem ad Maeandrum sitam intellexissent, multis iisque gravissimis argumentis demonstravit (cf. praecipue v. 101 ἐὰν προςορισθῇ ἡ χώρα κτλ., quae vicinam Smyrnae Magnesiam indicant, et v. 61 τὴν Μητέρα τὴν Σιπυληνήν).

πάντα τὰ ἐν τῆι ὁμολογίαι γεγραμμένα, καὶ τὸ ψήφισμα τόδε
30 ἀναγραφήτω κατὰ τὸν νόμον· ἀναγραφήτω δὲ κ[αὶ εἰς] || στήλας
εἰς ἃς καὶ ἡ ὁμολογία ἀναγραφήσεται· καλεσάτωσαν δὲ οἱ ἐπι-
μήνιοι τῆς βουλῆς[9] καὶ τοὺς πρεσβευτὰς τοὺς παραγεν[ομένους] |
ἐγ Μαγνησίας ἐπὶ ξενισμὸν εἰς τὸ πρυτανεῖον· τοῖς δὲ ἀπο-
δειχθε[ῖ]σιμ πρεσβευταῖς δότω μεθόδιον Καλλῖνος ὁ ταμίας τὸ
ἐκ τοῦ [νόμου] | ἡμερῶν ὅσων ἂν ὁ δῆμος τάξηι ἀπὸ τῶν τῆς
πόλεως προσόδων· ἡμέραι ἐτάγησαμ πέντε, πρεσβευταὶ ἀπεδείχ-
θησαν Φανόδημος Μικ[ίωνος][10], | Διονύσιος Διονυτᾶ, Παρμενίσκος
Πυθέου.

Ἐπὶ ἱερέως Ἡγησίου, στεφανηφόρου[12] δὲ Πυθοδώρου, μη-
νὸς Ληναιῶνος, ἀγαθῆι τύχηι· ἐπὶ τοῖσδε συνέθεντο τὴμ φιλίαν
35 Σμυρναῖ[οι] || τε καὶ οἱ ἐμ Μαγνησίαι κάτοικοι οἵ τε κατὰ πόλιν
ἱππεῖς καὶ πεζοὶ καὶ οἱ ἐν τοῖς ὑπαίθροις καὶ οἱ ἄλλοι οἰκηταί,
καὶ τὴμ πολιτείαν ἔδωκαν | Σμυρναῖοι τοῖς ἐμ Μαγνησίαι κατοίκοις
τοῖς τε κατὰ πό[λ]ιν ἱππεῦσι καὶ πεζοῖς καὶ τοῖς ὑπαίθροις καὶ
τοῖς οἰκοῦσι | τὴμ πόλιν, ἐφ' ὅτωι τὴμ μὲν συμμαχίαν καὶ τὴν
εὔνοιαν τὴν εἰς τὰ πράγματα τὰ τοῦ βασιλέως Σελεύκου δια-
τηρήσουσιν οἱ ἐμ | Μαγνησίαι τῶι βασιλεῖ Σελεύκωι μετὰ πάσης
προθυμίας εἰς ἅπαντα τὸν χρόνον, καὶ ὅσα παρείληφαν παρὰ
τοῦ βασιλέως Σελεύκου φυλάξαντες | εἰς δύναμιν εἶναι τὴν αὐτῶν
ἀποδώσουσιν τῶι βασιλεῖ Σελεύκω[ι· πολ]ιτεύσονται δὲ μετὰ
40 Σμυρναίων κατὰ τοὺς τῆς πόλεως νόμους || [ἀ]στασιάστως τὸν
αὐτὸν ἐχθρὸγ καὶ φίλον ἡγούμενοι Σμυρναίο[ις· ὁμ]οῦνται δὲ
καὶ οἱ ἐμ Μαγνησίαι Σμυρναίοις καὶ Σμυρναῖοι τοῖς ἐμ | Μα-
γνησίαι ἑκάτεροι αὐτῶν τὸν ὅρκον τὸν ἐν τῆι ὁμολογίαι ὑπο-
γ[ε]γραμμένον· συντελεσθέντων δὲ τῶν ὅρκων τὰ μὲν ἐγκλήματα
αὐ]τοῖς τὰ γεγενημένα κατὰ τὸμ πόλεμον ἤρθω πάντα καὶ μὴ
ἐξέστω μη[δ]ὲ ἑτέροις ἐγκαλέσαι περὶ τῶγ κατὰ τὸν πόλεμον γε-
γενημένων μήτε | διὰ δίκης μήτε κατ' ἄλλον τρόπομ μηθένα·
εἰ δέ μή, [π]ᾶν τὸ ἐπιφερόμενον ἔγκλημα ἄκυρον ἔστω· δεδόσθαι
δὲ τοῖς ἐμ Μαγνησίαι κατοίκ[οις] |, τοῖς τε κατὰ πόλιν ἱππεῦσι

---

9 Eosdem intellego qui Athenis et alibi prytanes audiunt (cf. 156, 1), etsi Boeckhius sic accipi debere negat et sacrificulos menstruos indicari statuit. Utramque significationem sane inesse in hac voce satis constat. 10 Supplevit Boeckh, monens Smyrnaeum nomen esse (C. I. G. 3140 Μικίων Μητροδώρου). Μίκκων Chandler. 11 Smyrnaeorum hunc eponymum esse non minus quam sacerdotem qui priore loco commemoratur, non vero Magnetum, monuit B.

καὶ πεζοῖς καὶ τοῖς ὑπαίθροις, πολιτε[α]ν ἐν Σμύρνηι ἐφ' ἴσηι
45 καὶ ὁμοίαι τοῖς ἄλλοις πολίταις· ὁμοίως δὲ δε[δόσθαι] ‖ τὴμ πο-
λιτείαν καὶ τοῖς ἄλλοις τ[οῖς ο]ἰκοῦσιν ἐμ Μαγνησίαι ὅσοι ἂν
ὦσιν [ἐ]λεύθεροί τε καὶ Ἕλληνες· ἀνενεγκάτωσαν δὲ τοὺς μὲγ
καταλοχισμ[οὺς[12] | τ]ῶν ἐμ Μαγνησίαι ἱππέω[ν τ]ε καὶ πεζῶν τῶν
τε κατὰ πόλιγ καὶ τῶν ὑπαίθρων οἱ ὄντες γραμματεῖς τῶν
ταγμάτων ἐπὶ τὸν δῆμον, τῶν δὲ ἄλ[λων] | οἰκητῶν τὴγ γραφ[ὴ]ν
οἱ ἀποδειχθέντες ὑπὸ τῶν ἐμ Μαγνησίαι κατοίκων ἄνδρες· ὅταν
δὲ τιθῶνται τοὺς καταλοχισμοὺς οἱ γραμματεῖς καὶ οἱ | [ἄ]νδρες
οἱ ἀ[πο]δειχθέντες τὴγ γραφὴν τῶν ἄλλων οἰκητῶν, ὁρκισάτωσαν
[αὐ]τοὺς οἱ ἐξετασταὶ ἐπὶ τοῦ μητρώιου ἱεροῖς νεοκαύτοι[ς τοὺς
μὲν | γραμμα]τεῖς ἢ μὴν ἀπὸ τοῦ βελτίστου ἀνενηνοχέναι τὴγ
γραφὴν τῶν ὄντων τῶ[ν] παρ' αὐτοῖς κατοίκων ἱππέων καὶ [πε-
50 ζῶν, τῶν τε κατὰ πόλιν καὶ κατὰ τὰ] ‖ ὕπαιθρα τασσομένων,
τοὺς δὲ ἄνδρας τοὺς [ἀν]αφέροντας τὴγ γραφὴν τῶν [ἄλλων οἰκη-
τῶν, ἢ μὴν ἀπὸ τοῦ βελτίστου ἀνενηνοχέναι τὴγ γραφὴν τῶν] |
οἰκούντων ἐμ Μαγνησίαι καὶ ὄντων ἐλευθέρων καὶ Ἑλλήνων·
τὰς δὲ ἀνενεχ[θείσας γραφὰς οἱ] ἐξετασταὶ παραδότωσαν τῶι
γραμμα[τοφύ]λακι τῆς | βουλῆς καὶ τοῦ δήμου, ὁ δὲ θέσθω εἰς τὸ
δημόσιον. ἐπικληρωσάτωσαν δὲ ο[ἱ ἐξεταστ]αὶ εἰς τὰς φυλὰς τὰ
ἀνενεχθέντα ὀνόματα πάντα καὶ ἀνα|γραψάτωσαν εἰς τὰ κλη-
ρωτήρια[13] καὶ ἔστω μετουσία τοῖς ἀναγραφεῖσιν ε[ἰς τὰ κληρ]ω-
τήρια πάντων ὧγ καὶ τοῖς λοιποῖς πολίταις μέτεστιν· | χρήσθω-
σαν δὲ οἱ πολιτογραφηθέντες καὶ ἐμ Μαγνησίαι περὶ τῶν συν-
αλλ[αγμάτ]ων καὶ τῶν ἐγκλημάτων τῶμ πρὸς Σμυρναίους τοῖς
55 νόμοις ‖ τοῖς Σμυρναίων· δεχέσθωσαν δὲ καὶ ἐμ Μαγνησίαι τὸ
νόμισμα τὸ τῆς πόλεως [ἔνν]ομον· καὶ ἄρχοντα δὲ ὃν ἂν ἀπο-
στέλληι ὁ δῆμος κυριεύσοντά τε | τῶγ κλειδῶν καὶ ἐσόμενον ἐπὶ
τῆς φυλακῆς τῆς πόλεως καὶ διατηρήσοντα τὴμ πόλιν τῶι βα-
σιλεῖ Σελεύκωι παραδέξονται οἱ ἐμ Μαγνησίαι· δό|τωσαν δὲ
Σμυρναῖοι καὶ εἰς κατασκήνωσιν[14] τοῖς ἀποσκευαζομένοις τῶν

---

12 καταλοχ[ίζειν est per ordines (κατὰ λόχους) dispertiri, suum cuique ordinem assignare. Cf. Diodor. XVIII, 70 εὐθὺς οὖν τοὺς μὲν εἰς τάξεις κατελόχιζον. Itaque καταλοχισμὸς quum ipsum discribendi negotium, tum tabulas significat in quibus milites secundum ordines inscripti erant. 13 Laterculi civium; nomen inde repetendum est, quod ex his tabulis iudicia sortibus constituebantur. De magistratuum sortitione, cuius Boeckhius mentionem facit, nolim cogitare, quia ibi eorum modo, qui petivissent, ratio habebatur. 14 Ut ii qui Smyrnam demigraturi sunt, habeant ubi commo-

ἐκ Μαγνησίας οἰκίας κλινῶν ὅσων ἂν τῶι δήμωι δόξηι ἀφ' οὗ ἂγ χρόνου ἡ ὁμολο|γία συνσφραγισθῇ εἰς ἑξάμηνον· μισθούσθω δὲ ὁ ταμίας τῶν ὁσίωμ προςόδων [τ]ὰς οἰκίας μετὰ τῶν στρατηγῶγ καὶ τὸ ἀνήλωμα διδότω ἀπὸ τῶν τῆ[ς] | πόλεως προςόδων· ὁμόσαι δὲ τοὺς μὲν ἐμ Μαγνησίαι κατοίκους τῶν τε κατὰ πόλιν ἱππέων καὶ πεζῶν καὶ τοὺς ἐν τοῖς ὑπαίθροις τασσομένους κα[ὶ]|
60 τοὺς ἄλλους τοὺς καταχωριζομένους εἰς τὸ πολίτευμα τόνδε τὸν ὅρκον· Ὀμνύω Δία, Γῆν, Ἥλιον, Ἄρη, Ἀθηνᾶν Ἀρείαν καὶ τὴν Ταυροπόλον καὶ τὴ[ν] | Μητέρα τὴν Σιπυληνὴν καὶ Ἀπόλλω τὸν ἐμ Πάνδοις[15] καὶ τοὺς ἄλλους θεοὺς πάντας καὶ πάσας καὶ τὴν τοῦ βασιλέως Σελεύκου τύχην· ἐμμενῶ ἐν | ταῖς συνθήκαις αἷς συντέθειμαι πρὸς Σμυρναίους εἰς ἅπαντα τὸγ χρόνον [κ]αὶ διατηρήσω τήν τε συμμαχίαν καὶ τὴν εὔνοιαν τῶι βασιλεῖ Σελεύκωι | καὶ τῆι Σμυρναίων πόλει, καὶ ἃ παρείληφα παρὰ τοῦ βασιλέως Σελεύκου διατηρήσω κατὰ δύναμιν τὴν ἐμὴν καὶ ἀποδώσω τῶι βασιλεῖ Σελεύκωι καὶ οὐθὲν | παραβήσομαι τῶγ κατὰ τὴν ὁμολογίαν οὐδὲ μεταθήσω ἐπὶ τὸ χεῖρον τὰ γεγραμ[μ]ένα ἐν αὐτῆι οὔτε τρόπωι οὔτε μηχανῆι οὐδεμιᾶι· καὶ πολιτεύσομαι
65 μεθ' ὁ||μονοίας ἀστασιάστως κατὰ τοὺς Σμυρναίων νόμους καὶ τὰ ψηφίσματα τοῦ [δή]μου καὶ συνδιατηρήσω τήν τε αὐτονομίαν καὶ δημοκρατίαν καὶ τἆλλα τὰ | ἐπιχεχωρημένα Σμυρναίοις ὑπὸ τοῦ βασιλέως Σελεύκου μετὰ πάσης προθυμίας ἐμ παντὶ καιρῶι, καὶ οὔτε αὐτὸς ἀδικήσω αὐτῶν οὐθένα οὔτε ἄλλωι ἐπ[ι]|τρέψω οὐθενὶ κατὰ δύναμιν τὴν ἐμήν· καὶ ἐάν τινα αἰσθάνωμαι ἐπιβουλεύο[ντα] τῆι πόλει ἢ τοῖς χωρίοις τοῖς τῆς πόλεως, ἢ τὴν δημοκρατίαν ἢ τὴν ἰσο|νομίαν καταλύοντα, μηνύσω τῶι δήμωι τῶι Σμυρναίων καὶ βοιηθήσω[16] ἀγωνι[ζόμ]ενος μετὰ πάσης φιλοτιμίας, καὶ οὐκ ἐγκαταλείψω κατὰ δύναμιν τὴν | ἐμαυτοῦ· εὐορκοῦντι μέμ μοι εὖ εἴη, ἐφιορκοῦντι δὲ ἐξώλεια καὶ αὐτῶι καὶ γέ[νει τ]ῶι ἐξ ἐμοῦ. ὀμόσαι δὲ καὶ Σμυρναίους τοῖς ἀπὸ Μαγνη-
70 σίας τὸν ὅρκον || τόνδε· Ὀμνύω Δία, Γῆν, Ἥλιον, Ἄρη, Ἀθηνᾶν Ἀρείαν καὶ τὴν Ταυροπόλον καὶ τὴμ Μη[τέρ]α τὴν Σιπυληνὴν καὶ Ἀφροδίτην Στρατονικίδα καὶ τοὺς ἄλλους θεοὺς | πάντας καὶ πάσας· ἐμμενῶ ἐν ταῖς συνθήκαις αἷς συντεθείμεθα πρὸς τοὺς [ἐμ Μ]αγνησίαι κατοίκους τούς τε κατὰ πόλιν ἱππεῖς καὶ πεζοὺς καὶ

---

rentur dum domos novas sibi aedificaverint. B. Cf. 126, 5. 15 Locus ignotus, quem in suburbiis Magnesiae Sipyli situm fuisse conicit B. 16 Cf. 109[16]. 144[12].

τοὺς ἐν τοῖς | ὑπαίθροις τασσομένους καὶ τοὺς ἄλλους τοὺς κα-
ταχωριζομένους εἰς τὸ [πολί]τευμα εἰς ἅπαντα τὸγ χρόνον οὐθὲν
παραβαίνων τῶγ κατὰ τὴν ὁμολογίαν | οὐδὲ μετατιθεὶς ἐπὶ τὸ
χεῖρον τὰ γεγραμμένα ἐν αὐτῆι, οὔτε τέχνηι οὔτε [μηχα]νῆι
οὐδεμιᾶι. καὶ εὐνοήσω καὶ βασιλεῖ Σελεύκωι καὶ τοῖς ἐκ Μα-
γνησίας κα|τοίκοις τοῖς τε κατὰ πόλιν καὶ τοῖς ὑπαίθροις καὶ
τοῖς ἄλλοις τοῖς οἰκο[ῦσιν ἐμ] Μαγνησίαι ὅσοι εἰσὶν ἐλεύθεροί τε
75 καὶ Ἕλληνες, καὶ ποιήσομαι αὐτοὺς ‖ πολίτας πάντας καὶ τοὺς
ἐκγόνους αὐτῶν ἐφ' ἴσηι καὶ ὁμοίαι τοῖς ἄλλοις πολί[ταις] καὶ
εἰς φυλὰς αὐτοὺς ἐπικληρώσας καταχωριῶ εἰς ἣν ἂν ἕκαστοι
λάχωσιν | καὶ οὔτε αὐτὸς ἀδικήσω αὐτῶν οὐθένα οὔτε ἄλλωι
ἐπιτρέψω οὐθενὶ κατὰ δ[ύν]αμιν τὴν ἐμήν· καὶ ἐάν τινα αἰσθά-
νωμαι ἐπιβουλεύοντα αὐτοῖς ἢ τοῖς ἐκγόνο[ις] | αὐτῶν ἢ τοῖς
ὑπάρχουσιν αὐτῶν, μηνύσω ὡς ἂν τάχιστα δύνωμαι, καὶ βοιη-
(θ)[ήσ]ω[17] μετὰ φιλοτιμίας· καὶ μετουσίαν αὐτοῖς δώσω τῶν τε
ἀρχείων καὶ τῶν ἄλλ[ων]|| τῶν κοινῶν τῆς πόλεως, ὧν καὶ οἱ ἄλλοι
πολῖται μετέχουσιν· εὐορκοῦ[ντι μέμ] μοι εὖ εἴη, ἐφιορκοῦντι δὲ
ἐξώλεια καὶ αὐτῶι καὶ γένει τῶι ἐξ ἐμοῦ. ἀποδειξά|τωσαν δὲ
Σμυρναῖοί τε καὶ οἱ ἀπὸ Μαγνησίας ἄνδρας [ἑκάτεροι αὐτῶν
ὅσους] ἂν ἑκάτεροι ὑπολανβάνωσιν ἱκανοὺς εἶναι, τοὺς ὁρκιοῦν-
80 τας τὸ πλῆθος ‖ τῶν τε ἐν Σμύρνηι καὶ τῶν ἐμ Μαγνησίαι· οἱ
δὲ [ὁρκιζέτωσαν προγράψα]ντες τῆι πρότερον ἡμέραι ἐνδημεῖν τοὺς
ἐν τῆι πόλει ὡς τοῦ ὅρκου συν[τε]|λεσθησομένου τοῦ κατὰ τὴν
ὁμολογίαν· [ὁρ]κιζέτωσ[αν δὲ τὸν προγεγραμμένον ὅρκ]ον οἱ μὲν
ἐκ Μαγνησίας ἀποδειχθέντες Σμυρναίους, οἱ δὲ ἐξ Σμύρνης τοὺς
ἐμ | Μαγνησίαι· τὰ δὲ ἱερεῖα τὰ εἰς τὰ [ὁρ]κωμόσια ἐν Σμύρνηι
[δότω ὁ ταμίας Καλ]λῖνος ἀφ' ὧν ἂν ψηφίσηται ὁ δῆμος, ἐν
δὲ Μαγνησίαι οἱ ταμίαι οἷς ἂν τὸ πλῆθος ἐ[πι]|τάξηι· ἀναγρα-
ψάτωσ[αν] δὲ καὶ τὴν ὁμολογίαν ἐν στήλ[αις λευκολίθοις καὶ
ἀναθ]έτωσαν Σμυρναῖοι μὲν ἐν τῶι τῆς Ἀφροδίτης τῆς Στρατονι-
κίδος ἱερῶι καὶ | ἐμ Μαγνησίαι τῆι πρὸς τῶι Μαιάνδρωι[18] ἐν
τῶι τῆς Ἀρτέμιδος [τῆς Λευκοφρυη]νῆς ἱερῶι· οἱ δὲ ἐμ Μαγνη-
85 σίαι κάτοικοι ἔν τε τῆι ἀγορᾶι παρὰ τὸν βωμὸν τοῦ ‖ Διον[ύσ]ου
καὶ τὰς τῶν βασιλέων εἰκόνας καὶ ἐμ Πάνδοις ἐ[ν τῶι ἱερῶι

17 ΒΟΙΗΩ..Ω 18 Ipsum additamentum docet, Magnesiam, de qua praeterea mentio fit per totum titulum, aliam esse. Ac plane inauditum fuisset, si Smyrnaei in ipsa urbe quacum foedus faciebant eius tabulam erigere iuberentur. B.

τοῦ] Ἀπόλλωνος καὶ ἐγ Γρυνέωι ἐν τῶι ἱερῶι τοῦ Ἀπόλλωνος· ἀναγραψάτω δὲ καὶ ὁ γραμ|ματοφύλαξ τῆς βουλῆς καὶ τοῦ δήμου τὰ ἀντίγραφα τῆς ὁμολογίας [εἰς τὸ δημ]ὸσιον· συνσφραγισάσθωσαν δὲ τὰς ὁμολογίας τὴμ μὲν Σμυρναίοις δοθησομένην | οὓς ἂν ἀποδείξηι τὸ κοινὸν τῶν ἐμ Μαγνησίαι τοῖς τε ἑαυτῶν δακτυλίοις κα[ὶ τῶι] ὑπάρχοντι κοινῶι, τὴν δὲ εἰς Μαγνησίαν δοθησομένην σφραγισάσθωσαν Σμυρνα[ίων] | οἵ τε στρατηγοὶ καὶ οἱ ἐξεταστὰι τῶι τε τῆς πόλεως δακτυλίωι καὶ τοῖς αὐτῶν. ταῦτα δὲ ἀμφοτέροις τοῖς πλήθεσιν συντετελέσθαι τύχηι τῆι ἀγαθῆι.

Ἔδοξεν τῶι δήμωι, στρατηγῶν γνώμη· ἐπειδὴ προνοῶν ὁ δῆμος ὑπὲρ ἁπάντων τῶν τοῦ βασιλέως Σελεύκου συμφερόντων
90 διετέλει καὶ πρότερον τήν τε βασιλείαν ‖ αὐτοῦ συναύξων καὶ τὰ πράγματα διατηρῶν καθ' ὅσον ἦν δυνατός, καὶ πολλὰ μὲν περιεῖδεν ἀπολλύμενα καὶ καταφθειρόμενα τῶν ὑπαρχόντων, πολλοὺς δὲ ὑπέμειν[εν] | κινδύνους ἕνεκεν τοῦ διατηρῆσαι τὴν φιλίαν τὴν πρὸς τὸν βασιλέα Σέλευκον, καὶ νῦν φιλοτιμούμενος αὐτῶι συνδιατηρῆσαι καὶ συνέχειν τὰ πράγματα καθ' ὅσον | ἐνδεχόμενόν ἐστιν, τήν τε πρὸς τοὺς ἐμ Μαγνησίαι κατοίκους καὶ τοὺς ὑπαίθρους ἱππεῖς καὶ τοὺς πεζοὺς στρατιώτας καὶ τοὺς ἄλλους τοὺς οἰκοῦντας ἐμ Μα|γνησίαι συντέθειται φιλίαν, ἵνα διαφυλάσσωσιν τὴν συμμαχίαν καὶ τὴν εὔνοιαν τῶι βασιλεῖ Σελεύκωι· νομίζω[ν] δὲ [ἀ]ναγκαῖον εἶναι τῆι πόλει παραλαβεῖν καὶ τὸ | χωρίον Παλαιμαγνησίαν[19] καὶ ποιήσασθαι τὴν φυλακὴν δι' αὐτοῦ, ἵνα καὶ τούτου παραληφθέντος ὑπὸ τῆς πόλεως ἀσφαλέ-
95 στερον διαμένηι πάντα τὰ σύνεγγυ[ς] ‖ πράγματα τῶι βασιλεῖ Σελεύκωι, διεπέμψαντο πρὸς τοὺς οἰκοῦντας ἐν τῶι χωρίωι καὶ παρεκάλεσαν αὐτοὺς αἱρεῖσθαι τὴν φιλίαν τὴν πρὸς τὸν βασιλέα Σέλευκον | καὶ παραδοῦναι τὰς κλεῖδας τῶι ἄρχοντι τῶι ἀποσταλέντι ὑπὸ τοῦ δήμου καὶ πα[ρ]αδέξ[α]σθαι φυλακὴν τὴν συνδιατηρήσουσαν μετ' αὐτῶν τὸ χωρίον τῶι βασιλεῖ | Σελεύκωι, ἐπαγγελλόμενος ταῦτα ποιησάντων αὐτῶν ὑπάρξειν αὐτοῖς παρὰ τῆς πόλεως πάντα τὰ φιλάνθρωπα καὶ καλῶς ἔχοντα, οἱ δὲ οἰκοῦντες ἐν τῶι | χωρίωι ἑλόμενοι τὴμ φιλίαν τὴν πρὸς τὸν βασιλέα Σέλευκον μετὰ πάσης προθυμίας προςεδέξαντο τάξιούμενα ὑπὸ τοῦ δήμου καὶ τάς τε κλεῖδας παραδεδώκασι[ν] | τῶι ἄρχοντι τῶι ἀπεσταλμένωι ὑπὸ τοῦ δήμου καὶ τὴν φυλακὴν τὴν παρὰ

---

19 Distinguendum hoc castellum in finibus Magnetum Sipylenorum situm ab ipsa urbe Magnesia. B.

τῆς πόλεως παρεδέξαντο εἰς τὸ χωρίον, ἀγαθῆι τύχηι, δεδόχθαι
100 πολίτας τε αὐτοὺς εἶν[αι] || καὶ ὑπάρχειν αὐτοῖς τὰ αὐτὰ ὅσα καὶ
τοῖς ἄλλοις πολίταις ὑπάρχει, καὶ τούς τε κλήρους αὐτῶν τοὺς
δύο ὅν τε ὁ θεὸς καὶ σωτὴρ Ἀντίοχος ἐπεχώρησεν αὐτοῖς καὶ
περὶ ο[ὗ] | Ἀλέξανδρος[20] γεγράφηκεν, εἶναι αὐτοῖς ἀδεκατεύτους,
καὶ ἐὰν προςορισθῇ[21] ἡ [χ]ώρα ἣν ἔχουσιν οἱ πρότερον ὄντες
ἐμ Μαγνησίαι κάτοικοι[22] τῆι πόλει τῆι ἡμετέραι, | ὑπάρχειν
αὐτοῖς τοὺς τρεῖς κλήρους[23] δωρεὰν[24] καὶ τὴν ἀτέλειαν αὐτοῖς
μένειν τὴν νῦν ὑπάρχουσαν· καὶ ὅσοι αὐτῶν εἰσιν ἀκληρούχη-
τοι, δοθῆναι αὐτοῖς κλῆρο[ν] | ἱππικὸν[25] δωρεὰν τῶν παρακειμέ-
νων τῶι χωρίωι· ὑπάρχειν δὲ καὶ Τίμωνι[26] κα[ὶ] τοῖς πεζοῖς
τοῖς τεταγμένοις ὑπὸ Τίμωνα τοῖς ἀποταχθεῖσιν ἀπὸ τῆς φά-
λαγγος | ἐπὶ τὴν φυλακὴν τοῦ χωρίου τήν τε πολιτείαν καὶ τὴν
αὐτὴν ἀτέλειαν [ἣ] καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ εἶναι αὐτοὺς ἐν
105 τῶι χωρίωι· ὑπάρχειν δὲ καὶ Ὠμάνει καὶ τοῖς || Πέρσαις τοῖς
ὑπὸ Ὠμάνην καὶ τοῖς ἀπὸ Σμύρνης ἀποσταλεῖσιν ἐπὶ τὴν φυλα-
κὴν τοῦ χωρίου, Μενεκλεῖ τε καὶ τοῖς ὑπ' αὐτὸν τασσομένοις,
τήν τε πολιτε[ίαν] | καὶ τἆλλα φιλάνθρωπα ἃ καὶ τοῖς ἄλλοις τοῖς
ἐκγ[27] Μαγνησίας ἐψήφισται, κ[αὶ] προνοῆσαι τὸν δῆμον ὅπως αὐτοῖς
διδῶται ἐκ βασιλικοῦ τ[ά] τε μετρήματα καὶ τὰ ὀψώνια | τἆλλα
ὅσα εἰώθει ἐκ βασιλικοῦ δίδοσθαι αὐτοῖς. τὸ δὲ ψήφισμα τόδε
ἀν[αγ]ράψαι εἰς τὰς στήλας τὰς ἀνατεθησομένας ἐν τοῖς ἱεροῖς
ὑπό τε τοῦ δήμου καὶ [ὑπὸ τῶν] | ἐκγ[27] Μαγνησίας· ἀναγεγράφ-
θαι δὲ αὐτὸ καὶ ἐν τοῖς δημοσίοις.

---

20 Hic vestigium assignationis agrorum ab Alexandro Magno factae deprehendisse sibi visus est Droysen, Gesch. des Hell. I, 2 p. 291. Rectius Waddington ad titulum 165 de eodem Alexandro, Antiochi II ministro aut satrapa, intellegit, qui illic v. 47 est. 21 Cf. 158[5]. 22 Discernendi hi ab eis qui supra οἱ ἐν Μαγνησίᾳ κάτοικοι vocantur. Antiqui incolae urbe ipsa expulsi alicubi in agro consedisse videntur. B. 23 Duobus qui v. 100. 101 commemorati sunt κλήροις Palaemagnesiae incolarum tertium accedere agrum pristinorum Magnesiae incolarum, itaque effici numerum ternarium existimat Boeckh. Res obscurissima est, sed utique κλῆροι hic non possunt (ut Droysenus l. l. intellexit) agri singulis hominibus assignati esse. 24 Ita ut immunes sint. Selden. Boeckh. 25 Sortem maioris mensurae quam pediti dari soleret interpretantur Maffeius et Boeckhius. 26 Quae sequuntur copiae minime confundendae cum eis peditibus equitibusque, quorum supra identidem mentio fit. Illi Magnesiae habitant (κάτοικοι) aut prope Magnesiam in castris sunt (ὕπαιθροι), hi Palaemagnesiae praesidii causa collocati sunt. B. 27 Utrobique ΕΚΓΜΑ Chandler, ΕΓΜΑ *A*. ΕΚΜΑ reliqui. Illa scriptura rara quidem sed non inaudita (60 b, 9. 189, 8. 200, 12).

172 Basis marmoris leucophaei inscripta litteris minutissimis. Ed. Hamilton, Researches in Asia Minor II n. 226 et inde Waddington ap. Lebas Asie n. 1536.

[Ἔδοξεν τῶι] δήμῳ· στρατηγῶν, πρυτάνε[ων, ἐξεταστῶν | γνώμη·: ἐ]πειδὴ οἱ στρατηγοὶ οἱ στρατηγήσαν[τες ἐπὶ ἱερο]ποιοῦ Ἀπολ]λοδώρου τὴμ μέσην τετράμηνον, Ἀθήν[αιος Εὐπόλι]δος,
5 Φίλων Ἡροσῶντος[1], Βοττᾶς Βοττάδος[2], Ἄλυπ[ος Ἐπαμείνο]νος, Ἐπαμείνων Ἐπαμείνονος, Ἀριστομένης Διονυσίο[υ, Διο]τρέφης Ἡρακλείτου, [Λεωδά]μας Ἀριστάρχου, Μητρόδωρος Θ[εοτί]μου, τά τε κατὰ τὴν ἀρχὴν καλῶς καὶ ἐνδόξως διώικησαν [καὶ τοῦ πο]λέμου[3] περιστάντος τὴν πόλιν καὶ τὴν χώραν ἐκτενεῖς κα[ὶ προθύ]μους αὑτοὺς παρέσχοντο πρὸς τὴν τῆς πόλεως φυλακ[ήν,
10 οὐδένα οὔ]τε φόβον οὔτε κίνδυνον ὑποστελλόμενοι, προθύμως δὲ ἑα[υ]τοὺς ἐπιδιδόντ(ε)ς[4] εἰς τὸ καὶ λέγειν καὶ πράττειν τὰ τῆι πόλ[ει] | συμφέροντα, δι' [ὧν] τὴν δημοκρατίαν συνδιετήρησαν τ[ῶι δή]μωι καὶ τὴν πόλιν ἐλευθέραν παρέδωκαν τοῖς μεθ' αὑτοὺς σ(τρ)α[τη|γ]οῦσιν, ἔν τε τοῖς ἄλλοις ἀνεύθυνοι καὶ ἀνέγ-
15 κλητοι γεγόν[α|σι]ν· τύχηι ἀγαθῆι, δεδόχθαι τῶι δήμωι, ἐπαινέσαι τοὺς στ[ρα|τη]γοὺς τοὺς στρατηγήσαντας ἐπὶ ἱεροποιοῦ Ἀπολλοδώρου | [τὴ]ν δευτέραν τετράμηνον ἐπὶ τοῖς διωικημένοις κατὰ τὴν | [ἀ]ρχήν, καὶ στεφανῶσαι ἕκαστον αὐτῶν χρυσῶι στεφάνωι· | [ὑπ]άρχει[ν δ]ὲ αὐτ[οῖς ἀνακηρυχθῆναι ἐ]μ πᾶσι τοῖς
20 ἀγῶσι τοῖς ὑ[------- τοῦτον τὸν στέφανον. ἀναγρά]ψαι δὲ καὶ τὸ ψήφισμα | [τόδε-------]

Litterae ΘΞΠΣ. 1 Huius nomen in nummo Erythraeorum (Mionnet Suppl. Ionie n. 921. 945) esse monuit W. 2 Cf. 166, 2. 3 Fortasse bellum Romanorum contra Aristonicum intellegendum aut adeo ad insequens saeculum descendendum esse adnotavit W., improbabiliter. Multo probabilius F. Lamprecht de rebus Erythraeorum publicis Berol. 1871 p. 45 et Droysen Gesch. des Hell. III, 1 p. 391 n. 3 Seleuci Callinici bellum contra Ptolemaeum Euergetam gestum hic agnoscunt, ut titulus ei qui antecedit aetate suppar habendus sit. 4 ΤΑΣ

---

173 Tabula marmoris caerulei, quae quondam partem basis magnae efficiebat, Pergami in arce prope aram maximam. Particulam initia versuum 1—5 continentem ex Peyssonelii apographo ed. Boeckh C. I. G. 3535. Reliquas partes annis 1879

et 1880 inventas exscripsit et cum illa coniunctas edidit Conze, die Ergebnisse der Ausgrabungen zu Pergamum 1879. 80 p. 83. Monatsberichte der Königl. Akademie der Wissenschaften in Berlin 1881 p. 872.

Βασιλέα Ἄτταλον[1] | Ἐπιγέν[η]ς[2] καὶ οἱ ἡγεμόνες καὶ στρατ[ι]ῶ-
ται | οἱ συναγωνισάμενοι τὰς πρὸς τοὺς Γαλάτας | καὶ Ἀντίο-
5 χον[3] μάχας χαριστ[ή]ρια | ἔστ[ησαν] Διὶ Ἀθηνᾶι.
------γόνου[4] ἔργα.

Litterae volgares, quarum hastae in extremis partibus lineolis transversis ornatae sunt. 1 Attalus I (241—197 a. Chr.). Regium nomen assumpsisse cum magnam de Gallis victoriam reportasset, testantur Polybius XVIII, 41, 7. Livius XXXIII, 21, 3. Strabo XIII p. 624. Neque vero hoc bellum aliud fuisse, quam illud, quod Attalus socius Seleuci Callinici contra eius fratrem Antiochum Hieracem a Gallis mercennariis adiutum gessisset, demonstravit Koehler (v. Sybels Historische Zeitschrift XLVII p. 1 sqq.) Anno 241 a. Chr. igitur aut paullo post haec monumenta (n. 173—177) erecta esse. 2 Eundem fuisse, qui postea apud Antiochum Magnum summa gratia florebat donec Hermiae malis artibus necatus est, coniecit Koehler p. 13. Aut post Attali victorias eum militiam mutasse, aut iam his ipsis proeliis eum interfuisse missum a Seleuco Callinico, apud quem iam tum, ut postea apud filium, militasset. 3 Antiochus Hierax Seleuci II Callinici frater natu minor. De bellis inter fratres gestis cf. Droysen Gesch. des Hellenismus III, 1 p. 388 sqq. 2 p. 10 sqq. 4 Plin. N. h. XXXIV, 84: *Plures artifices fecere Attali et Eumenis adversus Gallos proelia, Isigonus, Phyromachus, Stratonicus, Antigonus.* Memorabile est, quod ex vestigiis in superficie exstantibus apparet, aëneas statuas impositas fuisse. Conze.

174 Tabula marmorea quae quondam efficiebat superiorem partem basis ad eandem monumentorum seriem pertinentis atque n. 175—177, inventa Pergami. Ed. Conze Monatsberichte der Kgl. Akademie zu Berlin 1881 p. 871 tab. I, 1. Ergebnisse der Ausgrabungen zu Pergamon 1880—81. Berolini 1882 p. 46.

Βασιλεὺς Ἄτταλος τῶν κατὰ πόλεμον | ἀγώνων χαριστήρια
Ἀθηνᾶι.

